τυφλοὶ τοῖχον καὶ ὡς οὐχ ὑπαρχόντων ὀφθαλμῶν ψηλαφήσουσιν·
καὶ πεσοῦνται ἐν μεσημβρίᾳ ὡς ἐν μεσονυκτίῳ, ὡς ἀποθνῄσκοντες
11 στενάξουσιν. [11]ὡς ἄρκος καὶ ὡς περιστερὰ ἅμα πορεύσονται· ἀν-
εμείναμεν κρίσιν, καὶ οὐκ ἔστιν· σωτηρία μακρὰν ἀφέστηκεν ἀφ᾽
12 ἡμῶν. [12]πολλὴ γὰρ ἡμῶν ἡ ἀνομία ἐναντίον σου, καὶ αἱ ἁμαρτίαι
ἡμῶν ἀντέστησαν ἡμῖν· αἱ γὰρ ἀνομίαι ἡμῶν ἐν ἡμῖν, καὶ τὰ ἀδική-
13 ματα ἡμῶν ἔγνωμεν· [13]ἠσεβήσαμεν καὶ ἐψευσάμεθα καὶ ἀπέστημεν
ἀπὸ ὄπισθεν τοῦ θεοῦ ἡμῶν· ἐλαλήσαμεν ἄδικα καὶ ἠπειθήσαμεν,
ἐκύομεν καὶ ἐμελετήσαμεν ἀπὸ καρδίας ἡμῶν λόγους ἀδίκους·
14 [14]καὶ ἀπεστήσαμεν ὀπίσω τὴν κρίσιν, καὶ ἡ δικαιοσύνη μακρὰν
ἀφέστηκεν, ὅτι καταναλώθη ἐν ταῖς ὁδοῖς αὐτῶν ἡ ἀλήθεια, καὶ δι᾽
15 εὐθείας οὐκ ἠδύναντο διελθεῖν. [15]καὶ ἡ ἀλήθεια ἦρται, καὶ μετέστη-
σαν τὴν διάνοιαν τοῦ συνιέναι· καὶ εἶδεν κύριος, καὶ οὐκ ἤρεσεν
16 αὐτῷ, ὅτι οὐκ ἦν κρίσις. [16]καὶ εἶδεν καὶ οὐκ ἦν ἀνήρ, καὶ κατενό-
ησεν καὶ οὐκ ἦν ὁ ἀντιλημψόμενος, καὶ ἠμύνατο αὐτοὺς τῷ βρα-
17 χίονι αὐτοῦ καὶ τῇ ἐλεημοσύνῃ ἐστηρίσατο. [17]καὶ ἐνεδύσατο δικαιο-
σύνην ὡς θώρακα καὶ περιέθετο περικεφαλαίαν σωτηρίου ἐπὶ τῆς
κεφαλῆς καὶ περιεβάλετο ἱμάτιον ἐκδικήσεως καὶ τὸ περιβόλαιον
18 19 [18]ὡς ἀνταποδώσων ἀνταπόδοσιν ὄνειδος τοῖς ὑπεναντίοις. [19]καὶ
φοβηθήσονται οἱ ἀπὸ δυσμῶν τὸ ὄνομα κυρίου καὶ οἱ ἀπ᾽ ἀνατο-
λῶν ἡλίου τὸ ὄνομα τὸ ἔνδοξον· ἥξει γὰρ ὡς ποταμὸς βίαιος ἡ
20 ὀργὴ παρὰ κυρίου, ἥξει μετὰ θυμοῦ. [20]καὶ ἥξει ἕνεκεν Σιων ὁ ῥυό-
21 μενος καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ιακωβ. [21]καὶ αὕτη αὐτοῖς ἡ
παρ᾽ ἐμοῦ διαθήκη, εἶπεν κύριος· τὸ πνεῦμα τὸ ἐμόν, ὅ ἐστιν ἐπὶ
σοί, καὶ τὰ ῥήματα, ἃ ἔδωκα εἰς τὸ στόμα σου, οὐ μὴ ἐκλίπῃ ἐκ
τοῦ στόματός σου καὶ ἐκ τοῦ στόματος τοῦ σπέρματός σου, εἶπεν
γὰρ κύριος, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα.
60 [1]Φωτίζου φωτίζου, Ιερουσαλημ, ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ
2 δόξα κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. [2]ἰδοὺ σκότος καὶ γνόφος καλύψει
γῆν ἐπ᾽ ἔθνη· ἐπὶ δὲ σὲ φανήσεται κύριος, καὶ ἡ δόξα αὐτοῦ ἐπὶ
3 σὲ ὀφθήσεται. [3]καὶ πορεύσονται βασιλεῖς τῷ φωτί σου καὶ ἔθνη

10 τυφλος QS$^c$*C* | ως ουχ] tr. S | και 2$^0$ > B*L* = 𝔐 || 13 εψευσ.] + εν κυριω *L*, + ※εν πιπι (cf. 48 14) *O* | απο οπισθεν] απο > B: sic οι ο′ et σ′ θ′ teste Q, cf. 3 17 || 14 αφεστηκεν] + αφ ημων A*L* | κατηναλωθη B$^c$: cf. Thack. p. 260 | εδυναντο B*C*$^p$ || 15 διανοιαν] + αυτων S*A$^r$*C* || 17 σωτηριου] pr. ως S† | fin.] + αυτου B† || 18 fin.] + αυτου, αμυναν τοις εχθροις αυτου, ταις νησοις αποδομα αποτισει *L*, + ※ταις νησοις ανταποδομα ανταποδωσει *O* || 19 οι 1$^0$ > S*† || 20 ο > S*† | fin.] + ειπε(ν) κυριος *L* (in *O* sub ※) || 21 το στομα] την καρδιαν S*† | σου 1$^0$ ⌒ 2$^0$ B* | σου ult.] + και εκ του στοματος του σπερματος του σπερματος σου *L* (in *O* sub ※) | γαρ > A*C*
60 2 ιδου] pr. οτι *L* (in *O* sub ※), + γαρ S$^c$ | και γνοφος / καλυψει γην] tr. B*L* = 𝔐 | καλυπτει A | δε > A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/650 UNIVERSITÄT LEIPZIG